Iamblichus, *Protrepticus* chapter IX
text and *apparatus criticus* ed. DSH & MRJ 2013vi25

θ΄. ἀπὸ τοῦ βουλήματος τῆς φύσεως ἔφοδος εἰς προ–
τροπὴν κατὰ τὴν Πυθαγόρου ἀπόκρισιν, ἣν εἶπε τοῖς
ἐν Φλιοῦντι πυνθανομένοις τίς ἐστι καὶ τίνος ἕνεκα
γέγονε· ταύτῃ γὰρ ἑπομένως συλλογιζόμεθα τὴν προ–
τροπὴν ὅλην

------------------------------------------------------------------------------**[4.9-13]**

Ἄνωθεν δὲ ἀρχόμενοι ἀπὸ τοῦ τῆς φύσεως 49.1
βουλήματος ἐπὶ τὴν αὐτὴν προτροπὴν προχωροῦμεν
οὑτωσί. τῶν γινομένων τὰ μὲν ἀπό τινος διανοίας καὶ 49.3
τέχνης γίνεται, οἷον οἰκία καὶ πλοῖον (ἀμφοτέρων γὰρ
τούτων αἰτία τέχνη τίς ἐστι καὶ διάνοια), τὰ δὲ διὰ 49.5
τέχνης μὲν οὐδεμιᾶς, ἀλλὰ διὰ φύσιν· ζῴων γὰρ καὶ
φυτῶν αἰτία φύσις, καὶ κατὰ φύσιν γίνεται πάντα τὰ
τοιαῦτα. ἀλλὰ μὴν καὶ διὰ τύχην ἔνια γίνεται τῶν 49.8
πραγμάτων· ὅσα <u>γε</u> μήτε διὰ τέχνην μήτε διὰ φύσιν γοῦν
μήτ᾽ ἐξ ἀνάγκης γίγνεται, τὰ πολλὰ τούτων διὰ τύχην
γίνεσθαί φαμεν. 49.11

------------------------------------------------------------------------------**[49.1-11]**

**49.7** [τὰ] L || **9** γε F: [γε] L; γοῦν V; γὰρ R ➔

τῶν μὲν οὖν ἀπὸ τύχης γιγνομένων 49.11
οὐδὲν ἕνεκά του γίγνεται, οὐδ᾽ ἔστι τι τέλος αὐτοῖς·
τοῖς δὲ ἀπὸ τέχνης γιγνομένοις ἔνεστι καὶ τὸ τέλος 49.13
καὶ τὸ οὗ ἕνεκα (ἀεὶ γὰρ ὁ τὴν τέχνην ἔχων ἀπο–
δώσει σοι λόγον δι᾽ ὃν ἔγραψε καὶ οὗ ἕνεκα), καὶ
τοῦτο ὅ τι βέλτιόν ἐστιν ἢ τὸ διὰ τοῦτο γιγνόμενον. 49.16
λέγω δ᾽ ὅσων καθ᾽ αὑτὴν ἡ τέχνη πέφυκεν αἰτία καὶ
μὴ κατὰ συμβεβηκός· ὑγείας μὲν γὰρ ἰατρικὴν μᾶλλον
ἢ νόσου κυρίως ἂν θείημεν, οἰκοδομικὴν δὲ οἰκίας, 49.19
ἀλλ᾽ οὐ τοῦ καταβάλλειν. πᾶν ἄρα ἕνεκά του γίγνεται
τὸ κατὰ τέχνην, καὶ τοῦτο τέλος αὐτῆς τὸ βέλτιστον, 49.21
τὸ μέντοι διὰ τύχην οὐ γίνεται ἕνεκά του· συμβαίη
μὲν γὰρ ἂν καὶ ἀπὸ τύχης τι ἀγαθόν, οὐ μὴν ἀλλὰ 49.23
κατά γε τὴν τύχην καὶ καθόσον ἀπὸ τύχης οὐκ ἀγα–
θόν, ἀόριστον δ᾽ ἀεὶ τὸ γιγνόμενόν ἐστι κατ᾽ αὐτήν. 49.25

------------------------------------------------------------------------------**[49.11-25]**

**49.11** ἀπὸ <τῆς> τύχης VL || **12** τοῦ] τουτου L || **13** ἀπὸ <τῆς> τέχνης L || **14** τὴν <γραφικὴν> τέχνην Vitelli || **14** [τὸ] οὗ ἕνεκα L || **16** [ὅτι] Pistelli ➔ || **16** τὸ διὰ τοῦτο] τὸ <οὐ> διὰ τοῦτο Kiessling; τὸ οὗ ἕνεκα Pistelli || **19** κυρίως] κυρίαν des Places || **19** οἰκοδομικὴν <αἰτίαν> Gigon || **21** αὐτῆς <καὶ> τὸ Düring 1966: 409n53 || **24** κατά γε] γε κατά Düring || **25** δ᾽] γὰρ Gigon

ἀλλὰ μὴν τό γε κατὰ φύσιν ἕνεκά του γίγνεται, καὶ 49.26
βελτίονος ἕνεκεν ἀεὶ συνίσταται ἢ καθάπερ τὸ διὰ
τέχνης· μιμεῖται γὰρ οὐ τὴν τέχνην ἡ φύσις ἀλλὰ 49.28
αὐτὴ τὴν φύσιν, καὶ ἔστιν ἐπὶ τῷ βοηθεῖν καὶ τὰ 50.1
παραλειπόμενα τῆς φύσεως ἀναπληροῦν. τὰ μὲν γὰρ
ἔοικεν αὐτὴ δύνασθαι δι᾽ αὑτῆς ἡ φύσις ἐπιτελεῖν καὶ 50.3
βοηθείας οὐδὲν δεῖσθαι, τὰ δὲ μόλις <u>καὶ</u> παντελῶς **ἢ καὶ**
ἀδυνατεῖν, οἷον αὐτίκα καὶ περὶ τὰς γενέσεις· ἔνια 50.5
μὲν δήπου τῶν σπερμάτων εἰς ὁποίαν ἐμπέσῃ ἄν ἐμπέσῃ
γῆν ἄνευ φυλακῆς γεννῶσιν, ἔνια δὲ προσδεῖται τῆς 50.7
γεωργικῆς τέχνης· παραπλησίως δὲ καὶ τῶν ζῴων τὰ
μὲν δι᾽ αὑτῶν ἅπασαν ἀπολαμβάνει τὴν φύσιν, ἄν–
θρωπος δὲ πολλῶν δεῖται τεχνῶν πρὸς σωτηρίαν κατά 50.10
τε τὴν πρώτην γένεσιν καὶ πάλιν κατὰ τὴν ὑστέραν
τροφήν. 50.12

-------------------------------------------------------------------------------**[49.26-50.12]**

**49.26** μὴν <καὶ> Gigon || **27** [καθάπερ] Gigon ➔ || **27** [τὸ] V || **50.4** καὶ] ἢ Zuntz; ἢ καὶ Segonds ➔ || **5** καὶ] τὰ Gigon || **6** <ἂν> ἐμπέσῃ Kiessling ➔

εἰ τοίνυν ἡ τέχνη μιμεῖται τὴν φύσιν, ἀπὸ 50.12
ταύτης ἠκολούθηκε καὶ ταῖς τέχναις τὸ τὴν γένεσιν
ἅπασαν ἕνεκά του γίγνεσθαι. τὸ γὰρ ὀρθῶς γιγνό–
μενον ἅπαν ἕνεκά του γίγνεσθαι θείημεν ἄν. οὐκοῦν 50.15
τό γε καλῶς, ὀρθῶς· καὶ τὸ μὲν γιγνόμενον γίγνεται,
γέγονε δὲ τὸ γεγονὸς τό γε μὴν κατὰ φύσιν ἅπαν 50.17
καλῶς, εἴπερ τὸ παρὰ φύσιν φαῦλον καὶ τῷ κατὰ
φύσιν γένεσις ἕνεκά του γίγνεται. 50.19

-------------------------------------------------------------------------------**[50.12-19]**

**50.17** [μην] Ross ➔ || **18** τῷ] ᾧ V; ἡ Kiessling || **19** φύσιν < … > γένεσις Vitelli ➔

καὶ τοῦτο ἴδοι 50.19
τις ἂν καὶ ἀφ᾽ ἑκάστου τῶν ἐν ἡμῖν μερῶν· οἷον εἰ
κατανοοῖς τὸ βλέφαρον, ἴδοις ἂν ὡς οὐ μάτην ἀλλὰ 50.21
βοηθείας χάριν τῶν ὀμμάτων γέγονεν, ὅπως ἀνάπαυσίν
τε παρέχῃ καὶ κωλύῃ τὰ προσπίπτοντα πρὸς τὴν ὄψιν.
οὐκοῦν ταὐτόν ἐστιν οὗ τε ἕνεκα γέγονέ τι καὶ οὗ 50.24
ἕνεκα δεῖ γεγονέναι· οἷον εἰ πλοῖον ἕνεκα τῆς κατὰ *(25)*
θάλατταν κομιδῆς ἔδει γίγνεσθαι, διὰ τοῦτο καὶ γέγονε.
καὶ μὴν τά γε ζῷα τῶν φύσει 50.27
γεγενημένων ἐστὶν ἤτοι πάντα τοπαράπαν ἢ τὰ βέλ– 51.1
τιστα καὶ τιμιώτατα· διαφέρει γὰρ οὐδὲν εἴ τις αὐτῶν
τὰ πολλὰ παρὰ φύσιν οἴεται γεγενῆσθαι διά τινα 51.3
φθορὰν καὶ μοχθηρίαν. τιμιώτατον δέ γε τῶν ἐν–
ταῦθα ζῴων ἄνθρωπός ἐστιν, ὥστε δῆλον ὅτι φύσει 51.5
τε καὶ κατὰ φύσιν γέγονε.

-------------------------------------------------------------------------------**[50.19-51.6]**

**50.27** φυσει <τε καὶ κατὰ φυσιν> Vitelli ➔ || **51.3** γεγενῆσθαι] γεγεννῆσθαι Düring || **5** <ὁ> ἄνθρωπος L

καὶ τοῦτό ἐστι τῶν ὄντων 51.6
οὗ χάριν ἡ φύσις ἡμᾶς ἐγέννησε καὶ ὁ θεός. τί δὴ
τοῦτό ἐστι; Πυθαγόρας ἐρωτώμενος, ‘τὸ θεάσασθαι’ εἶπε
‘τὸν οὐρανόν’, καὶ ἑαυτὸν δὲ θεωρὸν ἔφασκεν εἶναι τῆς 51.9
φύσεως καὶ τούτου ἕνεκα παρεληλυθέναι εἰς τὸν βίον.
καὶ Ἀναξαγόραν δέ φασιν εἰπεῖν ἐρωτηθέντα τίνος ἂν
ἕνεκα ἕλοιτο γενέσθαι τις καὶ ζῆν, ἀποκρίνασθαι πρὸς 51.12
τὴν ἐρώτησιν, ὡς ‘τοῦ θεάσασθαι τὰ περὶ τὸν οὐ– [τὰ περὶ]
ρανὸν καὶ περὶ αὐτὸν ἄστρα τε καὶ σελήνην καὶ
ἥλιον’, ὡς τῶν ἄλλων γε πάντων οὐδενὸς ἀξίων ὄντων. 51.15

----------------------------------------------------------------------------**[51.6-15]**

**51.6-8** καὶ τί δὴ τοῦτό ἐστὶ τῶν ὄντων οὗ χάριν ἡ φύσις ἡμᾶς ἐγέννησε καὶ ὁ θεός; τοῦτο Πυθαγόρας ἐρωτώμενος etc., Zuntz ➔ || **7-8** [τι δη] τοῦτό <μὲν> [ἐστι] Gigon || **8** ἐρωτώμενος <ἐν φλιοῦντι> Gigon || **13-14** [τὰ περὶ] τὸν οὐρανὸν καὶ <τὰ> περὶ Pistelli ➔ || **13-14** οὐρανὸν καὶ περὶ αὐτὸν ἄστρα τε καὶ σελήνην καὶ ἥλιον] οὐρανόν τὰ ἄστρα τὴν σελήνην τε καὶ τὸν ἥλιον Jaeger ➔

εἰ τοίνυν παντὸς ἀεὶ τὸ τέλος ἐστὶ βέλτιον (ἕνεκα 51.16
γὰρ τοῦ τέλους πάντα γίγνεται τὰ γιγνόμενα, τὸ δ’
οὗ ἕνεκα βέλτιον καὶ βέλτιστον πάντων), τέλος δὲ κατὰ
φύσιν τοῦτό ἐστιν ὃ κατὰ τὴν γένεσιν πέφυκεν ὕστατον 51.19
ἐπιτελεῖσθαι παιρομένοις τῆς γενέσεως συνεχῶς· οὐκ– περαιουμένης
οῦν πρῶτον μὲν τὰ κατὰ τὸ σῶμα τῶν ἀνθρώπων
λαμβάνει τέλος, ὕστερον δὲ τὰ κατὰ τὴν ψυχήν, καί 51.22
πως ἀεὶ τὸ τοῦ βελτίονος τέλος ὑστερίζει τῆς γενέσεως. **οὐκ**
οὐκοῦν ψυχὴ σώματος ὕστερον, καὶ τῶν τῆς ψυχῆς 51.24
τελευταῖον ἡ φρόνησις· τοῦτο γὰρ ὕστατον ὁρῶμεν
γιγνόμενον φύσει τοῖς ἀνθρώποις, διὸ καὶ τὸ γῆρας 52.1
ἀντιποιεῖται τούτου μόνου τῶν ἀγαθῶν· φρόνησις ἄρα
τις κατὰ φύσιν ἡμῖν ἐστι τὸ τέλος, καὶ τὸ φρονεῖν
ἔσχατον οὗ χάριν γεγόναμεν. οὐκοῦν εἰ γεγόναμεν, 52.4
δῆλον ὅτι καὶ ἐσμὲν ἕνεκα τοῦ φρονῆσαί τι καὶ μαθεῖν.
καλῶς ἄρα κατά γε τοῦτον τὸν λόγον Πυθαγόρας
εἴρηκεν ὡς ἐπὶ τὸ γνῶναί τε καὶ θεωρῆσαι πᾶς ἄν– 52.7
θρωπος ὑπὸ τοῦ θεοῦ συνέστηκεν.

----------------------------------------------------------------------------**[51.16-52.8]**

**51.20** παιρομενοις FV; περαιουμενης L, $F^2$ (in margin); περαιομένης R; περαινομένης Rome, Bibl. Angelica 77, Naples, Bibl. Naz. III-B-30 ➔ || **23** πως ἀεὶ] πως οὐκ DSH+MRJ ➔ || **23** τῆς γενέσεως] τῇ γενέσει Gigon || **52.2** μόνου] μόνον Gigon || **7** τὸ] τῷ Scaliger

ἀλλὰ τοῦτο τὸ 52.8
γνωστὸν πότερον ὁ κόσμος ἐστὶν ἤ τις ἑτέρα φύσις,
σκεπτέον ἴσως ὕστερον, νῦν δὲ τοσοῦτον ἱκανὸν τὴν 52.10
πρώτην ἡμῖν. εἰ γάρ ἐστι κατὰ φύσιν τέλος ἡ φρό–
νησις, ἄριστον ἂν εἴη πάντων τὸ φρονεῖν. ὥστε τὰ
μὲν ἄλλα δεῖ πράττειν ἕνεκα τῶν ἐν αὐτῷ γιγνομένων 52.13
ἀγαθῶν, τούτων δὲ αὐτῶν τὰ μὲν ἐν τῷ σώματι τῶν
ἐν ψυχῇ, τὴν δὲ ἀρετὴν τῆς φρονήσεως· τοῦτο ἐν <τῇ> ψυχη
γάρ ἐστιν ἀκρότατον. 52.16

---------------------------------------------------------------------------------[52.8-16]

**52.8** [τὸ] L || **9** πότερον] πρότερον V || **13** ἐν αὐτῷ FL] ἐν αὑτῷ V; ἀπ’ αὐτῶν Zuntz, de Strycker ➔ || **15** <τῇ> ψυχη Kiessling ➔

τὸ δὲ ζητεῖν ἀπὸ πάσης ἐπι– 52.16
στήμης ἕτερόν τι γενέσθαι καὶ δεῖν χρησίμην αὐτὴν
εἶναι, παντάπασιν ἀγνοοῦντός τινός ἐστιν ὅσον διέστηκεν
ἐξ ἀρχῆς τὰ ἀγαθὰ καὶ τὰ ἀναγκαῖα· διαφέρει γὰρ 52.19
πλεῖστον. τὰ μὲν γὰρ δι᾽ ἕτερον ἀγαπώμενα τῶν
πραγμάτων, ὧν ἄνευ ζῆν ἀδύνατον, ἀναγκαῖα καὶ
συναίτια λεκτέον, ὅσα δὲ δι᾽ αὑτά, κἂν ἀποβαίνῃ 52.22
μηδὲν ἕτερον, ἀγαθὰ κυρίως· οὐ γὰρ δὴ τόδε μὲν
αἱρετὸν διὰ τόδε, τόδε δὲ δι᾽ ἄλλο, τοῦτο δὲ εἰς
ἄπειρον οἴχεται προϊόν, ἀλλ᾽ ἵσταταί που. γελοῖον οὖν 52.25
ἤδη παντελῶς τὸ ζητεῖν ἀπὸ παντὸς ὠφέλειαν ἑτέραν
παρ᾽ αὐτὸ τὸ πρᾶγμα, καὶ ‘τί οὖν ἡμῖν ὄφελος;’ καὶ
‘τί χρήσιμον;’ ἐρωτᾶν. ὡς ἀληθῶς γάρ, ὅπερ λέγομεν, 52.28
οὐδὲν ἔοικεν ὁ τοιοῦτος εἰδότι καλὸν κἀγαθὸν οὐδὲ τί
αἴτιον τῷ διαγιγνώσκοντι καὶ συναίτιον. 53.2

---------------------------------------------------------------------------------[52.16-53.2]

**52.28** ὅπερ] ὥσπερ Bywater, Rose || **52.28-53.3** λεγομεν [ουδεν . . . λεγομεν] L || **53.2** αἴτιον [τῷ] Pistelli || **2** καὶ συναίτιον <τί> Gigon

ἴδοι δ᾽ ἄν 53.2
τις ὅτι παντὸς μᾶλλον ἀληθῆ ταῦτα λέγομεν, εἴ τις
ἡμᾶς οἷον εἰς μακάρων νήσους τῇ διανοίᾳ κομίσειεν. 53.4
ἐκεῖ γὰρ οὐδενὸς χρεία οὐδὲ τῶν ἄλλων τινὸς ὄφελος
ἂν γένοιτο, μόνον δὲ καταλείπεται τὸ διανοεῖσθαι καὶ 53.6
θεωρεῖν, ὅνπερ καὶ νῦν ἐλεύθερόν φαμεν βίον εἶναι.
εἰ δὲ ταῦτ᾽ ἐστὶν ἀληθῆ, πῶς οὐκ ἂν αἰσχύνοιτο
δικαίως ὅστις ἡμῶν ἐξουσίας γενομένης ἐν μακάρων 53.9
οἰκῆσαι νήσοις ἀδύνατος εἴη δι᾽ ἑαυτόν; οὐκοῦν οὐ
μεμπτὸς ὁ μισθός ἐστι τῆς ἐπιστήμης τοῖς ἀνθρώποις,
οὐδὲ μικρὸν τὸ γιγνόμενον ἀπ᾽ αὐτῆς ἀγαθόν. ὥσπερ 53.12
γὰρ τῆς δικαιοσύνης, ὥς φασιν οἱ σοφοὶ τῶν ποιητῶν,
ἐν Ἅιδου κομιζόμεθα τὰς δωρεάς, οὕτω τῆς φρονήσεως 53.14
ἐν μακάρων νήσοις, ὡς ἔοικεν.

----------------------------------------------------------------------------------**[53.2-15]**

**53.3** [λέγομεν] Gigon || **6** δὲ] δὴ Renehan || **9** ἡμῶν] ἡμιν R || **11** ἐστι <ταύτης> τῆς Gigon || **13** ὥσ<περ> R

οὐδὲν οὖν δεινόν, ἂν 53.15
μὴ φαίνηται χρησίμη οὖσα μηδ᾽ ὠφέλιμος· οὐ γὰρ
ὠφέλιμον ἀλλ᾽ ἀγαθὴν αὐτὴν εἶναί φαμεν, οὐδὲ δι᾽
ἕτερον ἀλλὰ δι᾽ ἑαυτὴν αἱρεῖσθαι αὐτὴν προσήκει. 53.18
ὥσπερ γὰρ εἰς Ὀλυμπίαν αὐτῆς ἕνεκα τῆς θέας ἀπο–
δημοῦμεν, καὶ εἰ μηδὲν μέλλοι πλεῖον ἀπ᾽ αὐτῆς *(20)*
ἔσεσθαι (αὐτὴ γὰρ ἡ θεωρία κρείττων πολλῶν ἐστι 53.21
χρημάτων), καὶ τὰ Διονύσια δὲ θεωροῦμεν οὐχ ὡς
ληψόμενοί τι παρὰ τῶν ὑποκριτῶν ἀλλὰ καὶ προσ– 53.23
θέντες, πολλάς τε ἄλλας θέας ἑλοίμεθα <u>ἀντὶ</u> <ἄν> ἀντὶ
πολλῶν χρημάτων· οὕτω καὶ τὴν θεωρίαν τοῦ παντὸς 53.25
προτιμητέον πάντων τῶν δοκούντων εἶναι χρησίμων.
οὐ γὰρ δήπου ἐπὶ μὲν ἀνθρώπους μιμουμένους γύναια 54.1
καὶ δούλους, τοὺς δὲ μαχομένους καὶ θέοντας, δεῖ
πορεύεσθαι μετὰ πολλῆς σπουδῆς ἕνεκα τοῦ θεάσασθαι 54.3
αὐτούς, τὴν δὲ τῶν ὄντων φύσιν καὶ τὴν ἀλήθειαν
οὐκ οἴεσθαι δεῖν θεωρεῖν ἀμισθί. οὕτω μὲν οὖν ἀπὸ 54.5
τοῦ βουλήματος τῆς φύσεως ἐπιόντες προετρέψαμεν ἐπὶ
τὸ φρονεῖν ὡς ἐπὶ ἀγαθόν τε ὑπάρχον καὶ δι᾽ αὑτὸ
τίμιον, κἂν μηδὲν ἀπ᾽ αὐτοῦ χρήσιμον γίγνηται ὡς 54.8
πρὸς τὸν ἀνθρώπινον βίον.

----------------------------------------------------------------------------------**[53.15-54.9]**

**53.23-24** προσθέντες] προσδόντες Diels || **24** <ἄν> ἀντὶ Arcerius ➔ || **54.1** <τοὺς μὲν> μιμουμένους Rose || **7** τε] τι Kiessling